γενομένη φάσμα παρέχει καὶ δόκησιν ἀμυδρὰν καὶ ἀβέ-
βαιον αὑτῆς· ἂν δὲ τὴν διάνοιαν ἐπερείσῃς λαβέσθαι βου- B
λόμενος, ὥσπερ ἡ σφοδρὰ περίδραξις ὕδατος τῷ πιέζειν
καὶ εἰς ταὐτὸ συνάγειν διαρρέον ἀπόλλυσι τὸ περιλαμβα-
νόμενον, οὕτω τῶν παθητῶν καὶ μεταβλητῶν ἑκάστου τὴν
ἄγαν ἐνάργειαν ὁ λόγος διώκων ἀποσφάλλεται τῇ μὲν εἰς
τὸ γιγνόμενον αὐτοῦ τῇ δ᾽ εἰς τὸ φθειρόμενον, οὐδενὸς λα-
βέσθαι μένοντος οὐδ᾽ ὄντως ὄντος δυνάμενος. ‘ποταμῷ
γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ’ καθ᾽ Ἡράκλειτον
(fr. 91) οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν· ἀλλ᾽
ὀξύτητι καὶ τάχει μεταβολῆς ‘σκίδνησι καὶ πάλιν συνάγει’,
μᾶλλον δ᾽ οὐδὲ πάλιν οὐδ᾽ ὕστερον ἀλλ᾽ ἅμα συνίσταται
καὶ ἀπολείπει καὶ ‘πρόσεισι καὶ ἄπεισιν’. ὅθεν οὐδ᾽ εἰς τὸ C
εἶναι περαίνει τὸ γιγνόμενον αὐτῆς τῷ μηδέποτε λήγειν
μηδ᾽ ἵστασθαι τὴν γένεσιν, ἀλλ᾽ ἀπὸ σπέρματος ἀεὶ
μεταβάλλουσαν ἔμβρυον ποιεῖν εἶτα βρέφος εἶτα παῖδα,
μειράκιον ἐφεξῆς, νεανίσκον, εἶτ᾽ ἄνδρα, πρεσβύτην, γέ-
ροντα, τὰς πρώτας φθείρουσαν γενέσεις καὶ ἡλικίας ταῖς
ἐπιγιγνομέναις. ἀλλ᾽ ἡμεῖς ἕνα φοβούμεθα γελοίως θάνα-
τον, ἤδη τοσούτους τεθνηκότες καὶ θνήσκοντες. οὐ γὰρ
μόνον, ὡς Ἡράκλειτος (fr. 76) ἔλεγε, ‘πυρὸς θάνατος
ἀέρι γένεσις, καὶ ἀέρος θάνατος ὕδατι γένεσις,’ ἀλλ᾽ ἔτι
σαφέστερον ἐπ᾽ αὐτῶν ἡμῶν φθείρεται μὲν ὁ ἀκμάζων
γινομένου γέροντος, ἐφθάρη δ᾽ ὁ νέος εἰς τὸν ἀκμάζοντα, D
καὶ ὁ παῖς εἰς τὸν νέον, εἰς δὲ τὸν παῖδα τὸ νήπιον· ὅ τ᾽
ἐχθὲς εἰς τὸν σήμερον τέθνηκεν, ὁ δὲ σήμερον εἰς τὸν